ἔχει ἤτοι προκελευσματικὸν τὸν πρῶτον πόδα ἀντὶ ἀναπαίστου. διαλύεται γὰρ ἡ μακρὰ τοῦ ἀναπαίστου εἰς δύο βραχείας. ὡς καὶ τοῦ ἰάμβου καὶ τοῦ τροχαίου καὶ τῶν λοιπῶν τετρασυλλάβων ποδῶν. ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα. Ἴθ'

A ὅποι χρήζεις.] τοῦτο ἐκ Τηλέφου Εὐριπίδου. ἴθ' ὅποι χρήζεις. οὐκ ἀπόλουμαι τῆς Ἑλένης οὕνεκα. Γνώμας καινάς.] ὡς παρορωμένου τοῦ δικαίου παρὰ Ἀθηναίοις. διὸ καὶ μωροὺς αὐτοὺς εἶπεν.

Χωρεῖ τὸ κακόν. δότε μοι λεκάνην.
Ἀδ. Τυφογέρων εἶ κἀνάρμοστος.
Δι. Καταπύγων εἶ, κἀναίσχυντος.
Ἀδ. Ῥόδα μ' εἴρηκας. Δι. καὶ βωμολόχος.
Ἀδ. Κρίνεσι στεφανοῖς. Δι. καὶ πατραλοίας.
Ἀδ. Χρυσῷ πάττων μ' οὐ γινώσκεις.
Δι. Οὐ δῆτα πρὸ τοῦ γ'. ἀλλὰ μολίβδῳ.
Ἀδ. Νῦν δέ γε κόσμος τοῦτ' ἐστὶν ἐμοί.
Δι. Θρασὺς εἶ πολλοῦ. Ἀδ. σὺ δέ γ' ἀρχαῖος.
Δι. Διὰ σὲ δὲ φοιτᾶν
Οὐδεὶς ἐθέλει τῶν μειρακίων.
Γνωσθήσεται πότ' Ἀθηναίοισιν,
Οἷα διδάσκεις τοὺς ἀνοήτους.
Ἀδ. Αὐχμεῖς αἰσχρῶς. Δι. σὺ δέ γ' εὖ πράττεις,
Καίτοι πρότερόν γ' ἐπτώχευες,
Τήλεφος εἶναι Μυσὸς φάσκων,
Εὐριπιδίου.
Γνώμας τρώγων Πανδελετείους.
Ἀδ. Ὤμοι σοφίας, ἧς ἐμνήσθης.
Δι. Ὤμοι μανίας τῆς σῆς πόλεώς θ'
Ἥτις σε τρέφει,
Λυμαινόμενον τοῖς μειρακίοις.
Ἀδ. Οὐχὶ διδάξεις τοῦτον Κρόνος ὤν;
Δι. Εἴπερ γ' αὐτὸν σωθῆναι χρή,
Καὶ μὴ λαλιὰν μόνον ἀσκῆσαι.
Ἀδ. Δεῦρ' ἴθι, τοῦτον ἔα μαίνεσθαι.
Δι. Κλαύσει. τὴν χεῖρ' ἐπιβάλλεις;

*Hocce malum? date mihi vos peluim.*
IN. *Capularis es, insanúsque senex.*
IV. *At tu impurus es, atque cinædus.*
IN. *Dicis mihi rosas.* IV. *Scurra es tu.*
IN. *Sertis me ornas.* IV. *occidisti*
B *Patrem & matrem.* IN. *non intelligis,*
*Quòd me auro conspergis nescius.*
IV. *Sed non ante hac: verùm plumbo.*
IN. *At nunc mihi sunt ornamento.*
IV. *Nimium audax es.* IN. *Sed tu nimium*
*Stolidus.* IV. *propter*
*Te nemo adolescentum in ludum*
*Venit: agnoscent aliquando te*
C *Ciues, quàm tu stultè eos doceas.*
IN. *Squalles turpiter.* IV. *at tu splendes:*
*Licet antehac mendicares, &*
*Miserum perhiberes te Telephum*
*Esse Euripidis:*
*Qui Pandeliti dicta creparet.*
IN. *O sapientiam, de qua loqueris.*
IV. *O stultitiam urbis, quæ te alit hic,*
*Corrumpentem*
D *Mores adolescentum.* IN. *non tu*
*Saturne docebis iuuenem istum?*
IV. *Siquidem conseruari ipsum opus est:*
*Non garrulitate exerceri.*
IN. *Huc age, sine hunc insanire.*
IV. *Væ tibi: túne iniicias huic manum?*

Σχόλια. Δότε μοι λεκάνην.] ἵνα τὴν χολὴν ἐμέσω. ὡς ναυτιῶν ὑπὸ τῆς ἐκείνου ψυχρίας. ἢ ἵνα ἐμέσω. χολὴν
E γάρ μοι ἐπιπλέει διὰ τὰ αὐτοῦ ῥήματα. Ῥόδα μ' εἴρηκας.] ἀντὶ τοῦ ἐμοὶ τὰ ὑπὸ σοῦ εἰρημένα ῥόδα ἐστί. Βωμολόχος.] ἀσεβής. παρὰ τοὺς λοχῶντας τὰ ἐν τοῖς βωμοῖς ἐπιθέμενα θύματα ἢ τοὺς θύσαντας ἵνα αἰτήσαντες λάβωσί τι. βωμολοχία δὲ κυρίως ἡ περὶ τὸ ἐν παιδιᾷ ἡδὺ ὡς Ἀριστοτέλης ἐν δευτέρῳ ἠθικῶν ὑπερβολή. βωμολόχοι τοίνυν ἐν τοῖς βωμοῖς ἐρχόμενοι καὶ ἀντὶ τοῦ τὸ θεῖον εὐχαῖς ἐξιλεοῦν πολλοῖς τισὶ λόγοις χρώμενοι καὶ ματαίοις. Κρίνεσιν.] ὡς ἀπὸ τοῦ κρίνου κατὰ μετασχηματισμόν. Πρὸ τοῦ γ'.] πρὸ τοῦ χρυσοῦ. μολίβδῳ δὲ ἀτιμίᾳ ὡς νῦν μᾶλ-
F λον τῶν κακῶν ἀνθρώπων. διὸ καὶ ἐκεῖνος ἐπιφέρει νῦν δέ γε κόσμος τοῦτ' ἐστὶν ἐμοί. Διὰ σὲ δὲ φοιτᾶν.] τὸ αὐτοῦ δεῖν πάντα εἶναί φασι τοῦ ἥττονος λόγου. οὐ θέλει γάρ φησι τὰ μειράκια διὰ τὴν σὴν εὐήθειαν φοιτᾶν ὡς μαθησόμενα τὰ χρήσιμα μαθήματα. Τήλεφος εἶναι.] διαβάλλει Εὐριπίδην ὡς πτωχὸν εἰσενεγκόντα τὸν Τήλεφον. τοῦτον γὰρ Εὐριπίδης ὡς πτωχὸν εἰσήγαγε. περὶ οὗ καὶ κωμῳδεῖται.

ἄλλως. ὁ Τήλεφος βασιλεὺς ἦν Μυσίας, ὃν πλανηθέντων ὅτε εἰς Τροίαν ἀπήρχοντο καὶ τῶν Ἑλλήνων δῃούντων τὴν αὐτοῦ γῆν, ἀντὶ τῆς Τροίας Ἀχιλλεὺς ἔτρωσεν. καὶ πάλιν ἀποροῦντα τοῦ θεραπεύσοντος, τῆς Πυθίας ὁ τρώσας ἰάσεται ἀνελούσης παραγενόμενον εἰς Θετταλίαν τῷ χρησμῷ πεισθεὶς, θεραπείας ἠξίωσε. δυστυχήσαντα δὲ ὕστερον πεποίηκεν Εὐριπίδης ἐν δράματι πήραν ἔχοντα καὶ προσαιτοῦντα. ἀντὶ δὲ τοῦ εἰπεῖν ἄρτους καθαροὺς ἢ ξηροὺς τρώγων, Πανδελετείους γνώμας εἶπε, διαβάλλων αὐτὸν κατ' ἄμφω. καὶ ὡς ἄτιμον καὶ ὡς πανοῦργον. ἐπὶ γὰρ πανουργίᾳ διεβεβόητο ὁ Πανδέλετος. συκοφάντης δὲ ἦν καὶ φιλόδικος γράφων ψήφων ψηφίσματα. Πανδελετείους οὖν οὕτως εἶπεν ἀντὶ ἄρτων πανουργίαν σιτούμενος. μέμνηται τοῦ Πανδελέτου καὶ Κρατῖνος Χείρωσιν. οὗτος καὶ ψηφίσματα ἔγραψε. διαβάλλει δὲ τοὺς ῥήτορας ὡς ἐκ τῶν πτωχῶν πλουτοῦντας. Λυμαινόμενον.] ἀντὶ τοῦ ἐνυβρίζοντα. οὕτω δὲ αὐτοῖς συνήθες οὐχὶ τὰ μειράκια λυμαινόμενον. πρὸς ὃ καὶ τὸ χ. Κρόνος.] ἀρχαῖος, λῆρος.

BISETVS. Ὁ χορὸς τὴν τῶν ἀντιλογούντων μάχην παύει, καὶ τῆς ἀντιλογίας νόμους αὐτοῖς τάττει.

Χο. Παύσασθε μάχης, καὶ λοιδορίας.
Ἀλλ' ἐπίδειξαι σύ τε, τοὺς προτέρους
Ἅττ' ἐδίδασκες, σύ τε τὴν καινὴν
Παίδευσιν, ὅπως ἂν ἀκούσας σφῷν

G CH. *Mittite rixas & conuitia,*
*Et tu, quæ olim docuisti illos*
*Priscos, demonstra: tu autem nouam*
*Disciplinam in medium profer.*
*Vt, ubi hic vos audierit contra-*

Σχόλια. Παύσασθε μάχης] ἔκθεσις τῆς διπλῆς συστηματική. εἰς δύο περιόδους διῃρημένη ἐκ κώλων ὁμοίων ἀναπαιστι-